Isócrates

Περὶ τοῦ ζεύγους

Sobre el tronco de caballos



Traducción de

Juan Manuel Guzmán Hermida


SOBRE EL TRONCO DE CABALLOS (XVI)
Περὶ τοῦ ζεύγους

INTRODUCCIÓN

Según nos cuenta Tucídides (VI 16), Alcibíades[1] quedó primero, segundo y cuarto en las carreras hípicas de Olimpia el año 416 a. C. El historiador Diodoro (XIII 74) y el Pseudo-Andócides dicen que Alcibíades fue acusado por cierto Diomedes de haberse apropiado de uno de los troncos de caballos que utilizó en Olimpia cuando sólo se los había prestado. Plutarco (*Alcibíades* 12, 3) dice que Diomedes había confiado los caballos a Alcibíades para entregarlos a Argos, y que Alcibíades se los apropió. Diomedes había intentado el año 408 el proceso de Alcibíades, sin conseguirlo; luego, la muerte de Alcibíades y los sucesos políticos lo impidieron.

Cuando Alcibíades hijo alcanzó la mayoría de edad, es acusado por un tal Tisias de la apropiación indebida que hizo su padre. ¿Por qué Tisias y no Diomedes? Blass (*Die attische*…, II, pág. 205) considera que el error procede de Éforo, fuente de Diodoro; Frohberger (*Ausgewählte Reden des Lysias*, Leipzig, 1866) piensa, sin pruebas, que Tisias era hijo de Diomedes; Corai, en su edición de Isócrates, que se trata de dos sucesos iguales; Mathieu, que Diomedes y Tisias se asociaron para obtener la multa, que debía oí fuerte; que muerto Diomedes, Tisias prosigue el proceso; así también se explicaría la diferencia de indemnización económica pedida por ambos: en el 408 Diomedes pedía 8 talentos[2] (Diodoro), Tisias sólo 5.

El discurso fue escrito, pues, por Isócrates, para que se defendiera Alcibíades hijo; por los datos que hay en el mismo, se puede precisar su fecha: en el parágrafo 45 dice Alcibíades que acababa de nacer cuando su padre marchó al exilio, y que tenía menos de 4 años, cuando casi muere por la indignación de los atenienses contra su padre, al aconsejar éste a los espartanos la ocupación de Decelia (413 a. C.). Así que debía haber nacido en el año 416; como es acusado al alcanzar su mayoría de edad (18 años) el proceso no puede fijarse antes del 398 a. C.; no se menciona la guerra de Corinto, así que puede situarse en el 396; Blass lo fija en el 397 a. C. Sólo tenemos la segunda parte del discurso, como en el *Contra Loquites*. Es un auténtico elogio de Alcibíades padre, en una época en que la figura de este personaje interesaba mucho (a Isócrates siempre le fascinó, cf. *A Filipo* 58-61), cuando también Platón escribe su diálogo *Alcibíades*. Por esto algunos críticos han pensado que se trata más de un ejercicio retórico que de una defensa auténtica; Mathieu piensa en contra.



[1] Famoso político ateniense, que vivió entre los años 450-404 miles de Cristo. De la más rancia nobleza de Atenas (por línea materna descendía de los Alcmeónidas), sobrino de Pericles, fue estratego el año 420. Su participación en la política de la ciudad durante la guerra del Peloponeso fue muy intensa.

[2] Cf. la nota 2 al discurso *Contra Entino*.

SOBRE EL TRONCO DE CABALLOS (XVI)
Περὶ τοῦ ζεύγους

[1] ... περὶ μὲν οὖν τοῦ ζεύγους τῶν ἵππων, ὡς οὐκ ἀφελόμενος ὁ πατὴρ Τεισίαν εἶχεν, ἀλλὰ πριάμενος παρὰ τῆς πόλεως τῆς Ἀργείων, τῶν τε πρέσβεων τῶν ἐκεῖθεν ἡκόντων καὶ τῶν ἄλλων τῶν εἰδότων ἀκηκόατε μαρτυρούντων: τὸν αὐτὸν δὲ τρόπον ἅπαντές εἰσιν εἰθισμένοι με συκοφαντεῖν.

1 En lo que se refiere al tronco de caballos[3], que mi padre lo tuvo sin habérselo quitado a Tisias, sino comprándolo a la ciudad de los argivos, habéis oído, como testigos, a los embajadores venidos de allí y a otros que lo saben; pero todos están acostumbrados a acusarme falsamente de la misma manera.

[2] τὰς μὲν γὰρ δίκας ὑπὲρ τῶν ἰδίων ἐγκλημάτων λαγχάνουσι, τὰς δὲ κατηγορίας ὑπὲρ τῶν τῆς πόλεως πραγμάτων ποιοῦνται, καὶ πλείω χρόνον διατρίβουσι τὸν πατέρα μου διαβάλλοντες ἢ περὶ ὧν ἀντώμοσαν διδάσκοντες, καὶ τοσοῦτον καταφρονοῦσι τῶν νόμων ὥστε περὶ ὧν ὑμᾶς ὑπ᾽ ἐκείνου φασὶν ἠδικῆσθαι, τούτων αὐτοὶ δίκην παρ᾽ ἐμοῦ λαβεῖν ἀξιοῦσιν.

2 Pues incoan procesos por querellas privadas, pero hacen las acusaciones en defensa de asuntos de la ciudad, y gastan más tiempo en acusar a mi padre que en demostrar lo que declararon bajo juramento. Desdeñan tanto las leyes, que ellos quieren castigarme por aquello en que, según dicen, resultasteis perjudicados por mi padre.

[3] ἐγὼ δ᾽ ἡγοῦμαι μὲν οὐδὲν προσήκειν τὰς κοινὰς αἰτίας τοῖς ἰδίοις ἀγῶσιν: ἐπειδὴ δὲ Τεισίας πολλάκις ὀνειδίζει μοι τὴν φυγὴν τὴν τοῦ πατρὸς καὶ μᾶλλον ὑπὲρ τῶν ὑμετέρων ἢ τῶν αὑτοῦ σπουδάζει πραγμάτων, ἀνάγκη πρὸς ταῦτα τὴν ἀπολογίαν ποιεῖσθαι: καὶ γὰρ ἂν αἰσχυνοίμην, εἴ τῳ δόξαιμι τῶν πολιτῶν ἧττον φροντίζειν τῆς ἐκείνου δόξης ἢ τῶν ἐμαυτοῦ κινδύνων.

3 Yo creo que nada tienen que ver las acusaciones públicas con los procesos privados, pero, ya que Tisias me reprocha con frecuencia el destierro de mi padre y se ocupa más de nuestros asuntos que de los suyos, será forzoso montar la defensa en esa dirección. Pues también me avergonzaría dar a algún ciudadano la impresión de que me preocupo menos del buen nombre de aquél que de mis propios problemas.

[4] πρὸς μὲν οὖν τοὺς πρεσβυτέρους βραχὺς ἂν ἐξήρκει λόγος: ἅπαντες γὰρ ἴσασιν ὅτι διὰ τοὺς αὐτοὺς ἄνδρας ἥ τε δημοκρατία κατελύθη κἀκεῖνος ἐκ τῆς πόλεως ἐξέπεσεν: τῶν δὲ νεωτέρων ἕνεκα, οἳ τῶν μὲν πραγμάτων ὕστεροι γεγόνασι τῶν δὲ διαβαλλόντων πολλάκις ἀκηκόασι, πορρωτέρωθεν ἄρξομαι διδάσκειν.

4 Para los de mayor edad bastaría un corto discurso; pues todos saben que fueron los mismos hombres los que destruyeron la democracia y arrojaron a mi padre de la ciudad; pero comenzaré a hablar desde más antiguo, a causa de los jóvenes, que han nacido después de aquellos sucesos, y han oído con frecuencia a los calumniadores[4].

[3] He dudado mucho la traducción del término *zeúgous*, tradicionalmente llamado biga; tronco designa al par de caballos que tiran del carro de carreras; son dos caballos y no cuatro, como dice, destacándolo, VAN HOOK en su traducción
[4] La coincidencia entre la destrucción de la democracia y el exilio de Alcibíades tiene un carácter apologético y polémico contra Lisias y contrasta con lo que Isócrates dirá de Alcibíades en *Filipo* 58-61.

[5] οἱ γὰρ τὸ πρῶτον ἐπιβουλεύσαντες τῷ δήμῳ καὶ καταστήσαντες τοὺς τετρακοσίους, ἐπειδὴ παρακαλούμενος ὁ πατὴρ οὐκ ἤθελε γενέσθαι μετ᾽ αὐτῶν, ὁρῶντες αὐτὸν καὶ πρὸς τὰς πράξεις ἐρρωμένως ἔχοντα καὶ πρὸς τὸ πλῆθος πιστῶς διακείμενον, οὐχ ἡγοῦντ᾽ οὐδὲν οἷοί τ᾽ εἶναι κινεῖν τῶν καθεστώτων, πρὶν ἐκποδὼν ἐκεῖνος αὐτοῖς γένοιτο.

5 Los que primero conspiraron contra el pueblo y establecieron en el poder a los Cuatrocientos[5], cuando vieron que mi padre, invitado a unirse a ellos, no quiso, y que era hombre decidido para la acción y fiel a la democracia, pensaron que no podrían subvertir lo establecido, mientras aquél les fuese un estorbo.

[6] εἰδότες δὲ τὴν πόλιν τῶν μὲν περὶ τοὺς θεοὺς μάλιστ᾽ ἂν ὀργισθεῖσαν, εἴ τις εἰς τὰ μυστήρια φαίνοιτ᾽ ἐξαμαρτάνων, τῶν δ᾽ ἄλλων εἴ τις τὴν δημοκρατίαν τολμῴη καταλύειν, ἀμφοτέρας ταύτας συνθέντες τὰς αἰτίας εἰσήγγελλον εἰς τὴν βουλήν, λέγοντες ὡς ὁ πατὴρ μὲν συνάγοι τὴν ἑταιρείαν ἐπὶ νεωτέροις πράγμασιν, οὗτοι δ᾽ ἐν τῇ Πουλυτίωνος οἰκίᾳ συνδειπνοῦντες τὰ μυστήρια ποιήσειαν.

6 Y sabiendo que la ciudad se encoleriza extraordinariamente en los asuntos referentes a los dioses, si alguno queda al descubierto como violador de los Misterios[6], y en los demás asuntos si alguien se atreve a atentar contra el pueblo, reunieron ambas acusaciones y las llevaron al Consejo; y decían que mi padre reunía a su camarilla para hacer una revolución y que éstos representaron los Misterios un día que comía en casa de Pulitión[7].

[7] ὀρθῆς δὲ τῆς πόλεως γενομένης διὰ τὸ μέγεθος τῶν αἰτιῶν καὶ διὰ ταχέων συλλεγείσης ἐκκλησίας οὕτω σαφῶς ἐπέδειξεν αὐτοὺς ψευδομένους, ὥστε παρὰ μὲν τῶν κατηγόρων ἡδέως ἂν ὁ δῆμος δίκην ἔλαβε, τὸν δ᾽ εἰς Σικελίαν στρατηγὸν ἐχειροτόνησεν. μετὰ δὲ ταῦθ᾽ ὁ μὲν ἐξέπλευσεν ὡς ἀπηλλαγμένος ἤδη τῆς διαβολῆς, οἱ δὲ συστήσαντες τὴν βουλὴν καὶ τοὺς ῥήτορας ὑφ᾽ αὑτοῖς ποιησάμενοι πάλιν ἤγειρον τὸ πρᾶγμα καὶ μηνυτὰς εἰσέπεμπον.

7 La ciudad se levantó por la magnitud de las acusaciones y ante la Asamblea, reunida a toda prisa, mi padre demostró con tanta claridad que ellos mentían, que el pueblo con gusto habría castigado a sus acusadores y le votó a mano alzada como general para Sicilia[8]. Tras esto, él se embarcó pensando que estaba ya absuelto de la calumnia, pero sus enemigos, tras congraciarse con el Consejo y hacer que los oradores fueran de los suyos, removían de nuevo el asunto y enviaban delatores.

[8] καὶ τί δεῖ μακρολογεῖν; οὐ γὰρ πρότερον ἐπαύσαντο, πρὶν τόν τε πατέρ᾽ ἐκ τοῦ στρατοπέδου μετεπέμψαντο, καὶ τῶν φίλων αὐτοῦ τοὺς μὲν ἀπέκτειναν, τοὺς δ᾽ ἐκ τῆς πόλεως ἐξέβαλον.
πυθόμενος δὲ τήν τε τῶν ἐχθρῶν δύναμιν καὶ τὰς τῶν ἐπιτηδείων συμφοράς, καὶ νομίζων δεινὰ πάσχειν ὅτι παρόντα μὲν αὐτὸν οὐκ ἔκρινον, ἀπόντος δὲ κατεγίγνωσκον, οὐδ᾽ ὣς ἀπελθεῖν ἠξίωσεν εἰς τοὺς πολεμίους:

8 ¿Qué más hay que decir? No pararon hasta hacer venir a mi padre del ejército, y mataron a algunos de sus amigos y a otros los expulsaron de la ciudad.
Y mi padre, habiendo conocido la fuerza de sus adversarios y las desgracias de sus amigos, pensaba que había sufrido lo peor, porque no le juzgaron cuando estaba presente, sino que le condenaron durante su ausencia; pero ni aun así le pareció bien pasarse a los enemigos.

---

[5] Gobierno instituido el año 411 a. C. de corta duración

[6] Ceremonias religiosas secretas, de las que estaban excluidos los no iniciados; las de más renombre eran las que se celebraban en Eleusis, en honor de Deméter.

[7] Sobre este personaje, cf. ANDÓCIDES, *Sobre los Misterios* 12.

[8] Alcibíades había sido nombrado con anterioridad estratego.

[9] ἀλλ᾽ ἐκεῖνος μὲν τοσαύτην πρόνοιαν ἔσχεν ὑπὲρ τοῦ μηδὲ φεύγων μηδὲν ἐξαμαρτεῖν εἰς τὴν πόλιν, ὥστ᾽ εἰς Ἄργος ἐλθὼν ἡσυχίαν εἶχεν, οἱ δ᾽ εἰς τοσοῦτον ὕβρεως ἦλθον, ὥστ᾽ ἔπεισαν ὑμᾶς ἐλαύνειν αὐτὸν ἐξ ἁπάσης τῆς Ἑλλάδος καὶ στηλίτην ἀναγράφειν καὶ πρέσβεις πέμποντας ἐξαιτεῖν παρ᾽ Ἀργείων. ἀπορῶν δ᾽ ὅ τι χρήσαιτο τοῖς παροῦσι κακοῖς καὶ πανταχόθεν εἰργόμενος καὶ σωτηρίας οὐδεμιᾶς ἄλλης αὐτῷ φαινομένης τελευτῶν ἐπὶ Λακεδαιμονίους ἠναγκάσθη καταφυγεῖν.

9 Antes bien, tenía tal cuidado de no causar daño a la ciudad ni aun exiliado[9], que, tras marchar a Argos, se mantuvo tranquilo; pero ellos llegaron a tanta desvergüenza que os persuadieron a perseguirle por toda Grecia, a inscribirle en una estela y a enviar embajadores pidiendo su extradición a los argivos. Y él, al no saber qué hacer en sus males presentes, acosado por todas partes y sin que se le presentase salvación alguna, al final se vio obligado a refugiarse entre los lacedemonios.

[10] καὶ τὰ μὲν γενόμενα ταῦτ᾽ ἐστίν: τοσοῦτον δὲ τοῖς ἐχθροῖς τῆς ὕβρεως περίεστιν, ὥσθ᾽ οὕτως ἀνόμως τοῦ πατρὸς ἐκπεσόντος ὡς δεινὰ δεδρακότος αὐτοῦ κατηγοροῦσι, καὶ διαβάλλειν ἐπιχειροῦσιν ὡς Δεκέλειάν τ᾽ ἐπετείχισε καὶ τὰς νήσους ἀπέστησε καὶ τῶν πολεμίων διδάσκαλος κατέστη.

10 Esto es lo ocurrido; pero hay tal falta de pudor en los adversarios que, habiendo sido desterrado mi padre de manera tan ilegal, lo acusan de haber cometido los peores crímenes e intentan calumniarle con la especie de que fortificó Decelia, sublevó las islas y se hizo consejero de los enemigos[10].

[11] καὶ ἐνίοτε μὲν αὐτοῦ προσποιοῦνται καταφρονεῖν, λέγοντες ὡς οὐδὲν διέφερε τῶν ἄλλων, νυνὶ δ᾽ ἁπάντων αὐτὸν τῶν γεγενημένων αἰτιῶνται καί φασι παρ᾽ ἐκείνου μαθεῖν Λακεδαιμονίους ὡς χρὴ πολεμεῖν, οἳ καὶ τοὺς ἄλλους διδάσκειν τέχνην ἔχουσιν. ἐγὼ δ᾽ εἴ μοι χρόνος ἱκανὸς γένοιτο, ῥᾳδίως ἂν αὐτὸν ἐπιδείξαιμι τὰ μὲν δικαίως πράξαντα, τῶν δ᾽ ἀδίκως αἰτίαν ἔχοντα. πάντων δ᾽ ἂν εἴη δεινότατον, εἰ τοῦ πατρὸς μετὰ τὴν φυγὴν δωρεὰν λαβόντος ἐγὼ διὰ τὴν ἐκείνου φυγὴν ζημιωθείην.

11 Algunas veces fingen despreciarlo, diciendo que en nada sobresalía de los demás; pero ahora le hacen responsable de todo lo ocurrido y dicen que de él aprendieron los lacedemonios cómo había que luchar, precisamente ellos, que tienen técnica para enseñar a los demás. Si yo tuviera tiempo suficiente, fácilmente demostraría lo que él hizo en realidad y de qué cosas injustamente lleva la culpa. Lo más terrible de todo sería que mi padre, tras su destierro, recibiera una recompensa y yo fuera castigado por el exilio de aquél.

[12] ἡγοῦμαι δ᾽ αὐτὸν παρ᾽ ὑμῶν δικαίως ἂν πλείστης συγγνώμης τυγχάνειν: ὑπὸ γὰρ τῶν τριάκοντ᾽ ἐκπεσόντες ταῖς αὐταῖς ἐκείνῳ συμφοραῖς ἐχρήσασθε. ἐξ ὧν ἐνθυμεῖσθαι χρή, πῶς ἕκαστος ὑμῶν διέκειτο καὶ τίνα γνώμην εἶχε καὶ ποῖον κίνδυνον οὐκ ἂν ὑπέμεινεν ὥστε παύσασθαι μὲν μετοικῶν, κατελθεῖν δ᾽ εἰς τὴν πατρίδα, τιμωρήσασθαι δὲ τοὺς ἐκβαλόντας.

12 Creo que en justicia él habría alcanzado de vosotros el mayor perdón; porque al caer bajo los Treinta, sufristeis las mismas desgracias que aquél. Debéis acordaros de aquellos momentos, de cómo estaba cada uno de vosotros y en qué pensaba, qué clase de peligro no soportó para poner fin a su exilio, volver a la patria y vengarse de los que le habían expulsado.

---

[9] La edición de MATHIEU suprime *pheúgon, medén* del texto griego, aunque lo traduce; como el pasaje completo dice «*hypèr tou medén pheúgon, medén examartein*», se ha saltado del primer *medén* al segundo.

[10] Se dice lo mismo en LISIAS, XIV 30; cf. TUC., VI 55, 1.

[13] ἐπὶ τίνα δ᾽ ἢ πόλιν ἢ φίλον ἢ ξένον οὐκ ἤλθετε δεησόμενοι συγκαταγαγεῖν ὑμᾶς; τίνος δ᾽ ἀπέσχεσθε πειρώμενοι κατελθεῖν; οὐ καταλαβόντες τὸν Πειραιᾶ καὶ τὸν σῖτον τὸν ἐν τῇ χώρᾳ διεφθείρετε καὶ τὴν γῆν ἐτέμνετε καὶ τὰ προάστεια ἐνεπρήσατε καὶ τελευτῶντες τοῖς τείχεσι προσεβάλετε;

13 ¿A qué ciudad, amigo o huésped dejasteis de acudir para pedirles que os ayudaran a volver? ¿Qué no utilizasteis cuando intentabais regresar? ¿No ocupasteis el Pireo, destruisteis el trigo en el campo, talasteis el país, quemasteis los arrabales y finalmente, derribasteis las murallas?

[14] καὶ ταῦθ᾽ οὕτω σφόδρ᾽ ἐνομίζετε χρῆναι ποιεῖν, ὥστε τοῖς ἡσυχίαν ἄγουσι τῶν συμφυγάδων μᾶλλον ὠργίζεσθε ἢ τοῖς αἰτίοις τῶν συμφορῶν γεγενημένοις. ὥστ᾽ οὐκ εἰκὸς ἐπιτιμᾶν τοῖς τῶν αὐτῶν ὑμῖν ἐπιθυμοῦσιν, οὐδὲ κακοὺς ἄνδρας νομίζειν, ὅσοι φεύγοντες κατελθεῖν ἐζήτησαν, ἀλλὰ πολὺ μᾶλλον ὅσοι μένοντες φυγῆς ἄξι᾽ ἐποίησαν: οὐδ᾽ ἐντεῦθεν ἀρξαμένους κρίνειν, ὁποῖός τις ἦν ὁ πατὴρ πολίτης, ὅτ᾽ οὐδὲν αὐτῷ τῆς πόλεως προσῆκεν,

14 Pensabais que era tan necesario hacer estas cosas que vuestra cólera era mayor con los compañeros de destierro que se mantenían inactivos, que con los que resultaron causantes de vuestras desgracias. Por eso, no es lógico menospreciar a los que desean lo mismo que vosotros ni considerar malvados a cuantos desterrados desearon volver, sino mucho más a cuantos, al quedarse, hicieron cosas dignas de destierro; tampoco debe comenzar vuestro juicio por la consideración de qué clase de ciudadano era mi padre cuando nada tenía que ver con la ciudad,

[15] ἀλλ᾽ ἐπ᾽ ἐκείνου τοῦ χρόνου σκοπεῖν οἷος ἦν πρὶν φυγεῖν περὶ τὸ πλῆθος, καὶ ὅτι διακοσίους ὁπλίτας ἔχων τὰς μεγίστας πόλεις τῶν ἐν Πελοποννήσῳ Λακεδαιμονίων μὲν ἀπέστησεν, ὑμῖν δὲ συμμάχους ἐποίησε, καὶ εἰς οἵους κινδύνους αὐτοὺς κατέστησε, καὶ ὡς περὶ Σικελίαν ἐστρατήγησεν. τούτων μὲν γὰρ ἐκείνῳ προσήκει χάριν ὑμᾶς ἔχειν: τῶν δ᾽ ἐν τῇ συμφορᾷ γενομένων τοὺς ἐκβαλόντας αὐτὸν δικαίως ἂν αἰτίους νομίζοιτε.

15 sino por el examen detallado de su actuación con respecto al pueblo en la época anterior a su destierro: que con doscientos hoplitas apartó de los lacedemonios a las ciudades más importantes del Peloponeso y las hizo aliadas vuestras[11], a qué peligros los llevó y cómo ejerció el mando militar en los asuntos de Sicilia. Porque conviene que le tengáis agradecimiento por estas cosas; en cambio, de lo que le ha ocurrido en la época de su desgracia, deberíais responsabilizar en justicia a los que le desterraron.

[16] ἀναμνήσθητε δὲ πρὸς ὑμᾶς αὐτούς, ἐπειδὴ κατῆλθεν, ὡς πόλλ᾽ ἀγαθὰ τὴν πόλιν ἐποίησεν, ἔτι δὲ πρότερον, ὡς ἐχόντων τῶν πραγμάτων αὐτὸν κατεδέξασθε, καταλελυμένου μὲν τοῦ δήμου, στασιαζόντων δὲ τῶν πολιτῶν, διαφερομένων δὲ τῶν στρατιωτῶν πρὸς τὰς ἀρχὰς τὰς ἐνθάδε καθεστηκυίας, εἰς τοῦτο δὲ μανίας ἀμφοτέρων ἀφιγμένων ὥστε μηδετέροις μηδεμίαν ἐλπίδ᾽ εἶναι σωτηρίας:

16 Recordad entre vosotros mismos qué cantidad de bienes hizo a la ciudad cuando volvió y cómo estaban los asuntos antes de que le recibierais: la democracia deshecha, los ciudadanos revueltos, los soldados en disputa con los magistrados aquí establecidos; unos y otros llegaban a tal grado de locura que no había esperanza alguna para nadie;

[11] Cf. TUC., V 52, 2

[17] οἱ μὲν γὰρ τοὺς ἔχοντας τὴν πόλιν ἐχθροὺς ἐνόμιζον μᾶλλον ἢ Λακεδαιμονίους, οἱ δὲ τοὺς ἐκ Δεκελείας μετεπέμποντο, ἡγούμενοι κρεῖττον εἶναι τοῖς πολεμίοις τὴν πατρίδα παραδοῦναι μᾶλλον ἢ τοῖς ὑπὲρ τῆς πόλεως στρατευομένοις τῆς πολιτείας μεταδοῦναι.

17 porque unos consideraban más enemigos que los lacedemonios a los que ocupaban la ciudad, y los otros llamaban a los de Decelia[12], pensando que era mejor entregar la patria a los enemigos que hacer partícipes de la ciudadanía a los que luchaban en favor de la ciudad.

[18] τοιαύτην μὲν οὖν τῶν πολιτῶν γνώμην ἐχόντων, κρατούντων δὲ τῶν πολεμίων καὶ τῆς γῆς καὶ τῆς θαλάττης, ἔτι δὲ χρημάτων ὑμῖν μὲν οὐκ ὄντων, ἐκείνοις δὲ βασιλέως παρέχοντος, πρὸς δὲ τούτοις ἐνενήκοντα νεῶν ἐκ Φοινίκης εἰς Ἄσπενδον ἡκουσῶν καὶ παρεσκευασμένων Λακεδαιμονίοις βοηθεῖν, ἐν τοσαύταις συμφοραῖς καὶ τοιούτοις κινδύνοις τῆς πόλεως οὔσης,

18 Tal era la manera de pensar de los ciudadanos cuando los enemigos vencían por tierra y mar; cuando ni siquiera teníais dinero y el Rey ayudaba a aquéllos[13]; cuando además venían noventa naves de Fenicia a Aspendo[14], dispuestas a ayudar a los lacedemonios. Y estando la ciudad en tales desgracias y tantos peligros,

[19] μεταπεμψαμένων αὐτὸν τῶν στρατιωτῶν οὐκ ἐσεμνύνατ᾽ ἐπὶ τοῖς παροῦσιν, οὐδ᾽ ἐμέμψατο περὶ τῶν γεγενημένων, οὐδ᾽ ἐβουλεύσατο περὶ τῶν μελλόντων, ἀλλ᾽ εὐθὺς εἵλετο μετὰ τῆς πόλεως ὁτιοῦν πάσχειν μᾶλλον ἢ μετὰ Λακεδαιμονίων εὐτυχεῖν, καὶ πᾶσι φανερὸν ἐποίησεν ὅτι τοῖς ἐκβαλοῦσιν ἀλλ᾽ οὐχ ὑμῖν ἐπολέμει, καὶ ὅτι κατελθεῖν ἀλλ᾽ οὐκ ἀπολέσαι τὴν πόλιν ἐπεθύμει.

19 al llamar los soldados a mi padre, no se dio importancia por su situación presente, ni se quejó de lo ocurrido, ni pensó en el futuro, sino que, de inmediato, eligió sufrir con la ciudad lo que fuera, mejor que pasarlo bien entre los lacedemonios y aclaró a todos que luchaba contra los que le echaron, pero no contra vosotros y que deseaba volver a la ciudad, pero no destruirla.

[20] γενόμενος δὲ μεθ᾽ ὑμῶν ἔπεισε μὲν Τισσαφέρνην μὴ παρέχειν χρήματα Λακεδαιμονίοις, ἔπαυσε δὲ τοὺς συμμάχους ὑμῶν ἀφισταμένους, διέδωκε δὲ παρ᾽ αὑτοῦ μισθὸν τοῖς στρατιώταις, ἀπέδωκε δὲ τῷ δήμῳ τὴν πολιτείαν, διήλλαξε δὲ τοὺς πολίτας, ἀπέστρεψε δὲ τὰς ναῦς τὰς Φοινίσσας.

20 Y cuando ya estuvo con vosotros, convenció a Tisafernes[15] para que no suministrara dinero a los lacedemonios, acabó con la defección de vuestros aliados, pagó con su dinero a los soldados, devolvió al pueblo el poder político, reconcilió a los ciudadanos e hizo dar la vuelta a las naves fenicias.

[21] καὶ μετὰ ταῦτα καθ᾽ ἕκαστον μέν, ὅσας τριήρεις ἔλαβεν ἢ μάχας ἐνίκησεν ἢ πόλεις κατὰ κράτος εἷλεν ἢ λόγῳ πείσας φίλας ὑμῖν ἐποίησε, πολὺ ἂν ἔργον εἴη λέγειν: πλείστων δὲ κινδύνων τῇ πόλει κατ᾽ ἐκεῖνον τὸν καιρὸν γενομένων οὐδεπώποτε τοῦ πατρὸς ἡγουμένου τρόπαιον ὑμῶν ἔστησαν οἱ πολέμιοι.

21 Y, además de esto, sería mucha tarea enumerar una por una, cuántas trirremes tomó, cuántos combates venció, cuántas ciudades conquistó por la fuerza o las hizo amigas vuestras por la persuasión; y en aquella ocasión en que se produjeron los mayores peligros para la ciudad, nunca, mientras mi padre fue el guía, levantaron un trofeo vuestro los enemigos.

[12] Los demócratas, que estaban en la isla de Samos, y los oligarcas en Atenas (cf. TUC., VIII 82-98).
[13] El rey de Persia ayudaba decisivamente a los enemigos de Atenas; un ejemplo son esas noventa naves fenicias.
[14] Pequeña ciudad de Asia Menor, en Panfilia, cerca del río Eurimedonte.
[15] Sátrapa de Asia Menor occidental desde el año 414 a. C.

[22] περὶ μὲν οὖν τῶν ἐστρατηγημένων οἶδα μὲν ὅτι πολλὰ παραλείπω, διὰ τοῦτο δ᾽ οὐκ ἀκριβῶς εἴρηκα περὶ αὐτῶν, ὅτι σχεδὸν ἅπαντες μνημονεύετε τὰ πραχθέντα. λοιδοροῦσι δὲ λίαν ἀσελγῶς καὶ θρασέως καὶ τὸν ἄλλον βίον τὸν τοῦ πατρός, καὶ οὐκ αἰσχύνονται τοιαύτῃ παρρησίᾳ χρώμενοι περὶ τοῦ τεθνεῶτος, ἣν ἔδεισαν ἂν ποιήσασθαι περὶ ζῶντος, ἀλλ᾽ εἰς τοσοῦτον ἀνοίας ἐληλύθασιν,

22 Sé que omito muchas de sus hazañas guerreras, pero no he hablado en detalle de ellas porque poco más o menos todos recordáis lo sucedido. Sin embargo, censuran con mucha insolencia y atrevimiento la vida privada de mi padre, y no se avergüenzan de usar sobre mi muerto tal libertad de lenguaje[16], precisamente la que temieron emplear cuando estaba vivo; es más, han llegado a tal insensatez,

[23] ὥστ᾽ οἴονται καὶ παρ᾽ ὑμῖν καὶ παρὰ τοῖς ἄλλοις εὐδοκιμήσειν, ἢν ὡς ἂν δύνωνται πλεῖστα περὶ αὐτοῦ βλασφημήσωσιν, ὥσπερ οὐ πάντας εἰδότας ὅτι καὶ τοῖς φαυλοτάτοις τῶν ἀνθρώπων ἔξεστιν οὐ μόνον περὶ τῶν ἀνδρῶν τῶν ἀρίστων ἀλλὰ καὶ περὶ τῶν θεῶν ὑβριστικοὺς λόγους εἰπεῖν.

23 que piensan que serán bien considerados entre vosotros y entre los demás, si hablan mal de él y lo más posible, como si no supieran todos que los hombres peores pueden hablar con la mayor insolencia, no ya sobre los hombres mejores, sino incluso sobre los dioses.

[24] ἴσως μὲν οὖν ἀνόητόν ἐστιν ἁπάντων τῶν εἰρημένων φροντίζειν: ὅμως δ᾽ οὐχ ἥκιστ᾽ ἐπιθυμῶ περὶ τῶν ἐπιτηδευμάτων τῶν τοῦ πατρὸς διελθεῖν πρὸς ὑμᾶς, μικρὸν προλαβὼν καὶ τῶν προγόνων ἐπιμνησθείς, ἵν᾽ ἐπίστησθ᾽ ὅτι πόρρωθεν ἡμῖν ὑπάρχει μέγιστα καὶ κάλλιστα τῶν πολιτῶν.

24 Quizá es absurdo preocuparse de todo lo que se ha dicho; a pesar de ello no es menor mi deseo de hablaros de las costumbres de mi padre; tomaré la narración desde un poco antes y mencionaré a nuestros antepasados, para que sepáis que desde hace mucho tiempo nos corresponden las cosas más importantes y hermosas que pueden tocarle a un ciudadano.

[25] ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν ἦν Εὐπατριδῶν, ὧν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴδιον γνῶναι, πρὸς γυναικῶν δ᾽ Ἀλκμεωνιδῶν, οἳ τοῦ μὲν πλούτου μέγιστον μνημεῖον κατέλιπον, ἵππων γὰρ ζεύγει πρῶτος Ἀλκμέων τῶν πολιτῶν Ὀλυμπίασιν ἐνίκησε, τὴν δ᾽ εὔνοιαν ἣν εἶχον εἰς τὸ πλῆθος, ἐν τοῖς τυραννικοῖς ἐπεδείξαντο: συγγενεῖς γὰρ ὄντες Πεισιστράτου καὶ πρὶν εἰς τὴν ἀρχὴν καταστῆναι μάλιστ᾽ αὐτῷ χρώμενοι τῶν πολιτῶν, οὐκ ἠξίωσαν μετασχεῖν τῆς ἐκείνου τυραννίδος, ἀλλ᾽

25 Mi padre pertenecía por línea paterna a los Eupátridas[17], cuya nobleza de origen es fácil de conocer por su mismo nombre, y, por línea materna, a los Alcmeónidas[18], quienes dejaron un glorioso recuerdo de su riqueza —porque Alcmeón fue el primero de los ciudadanos que venció en las Olimpíadas con un tronco de caballos—, y demostraron, en tiempos de los tiranos, la devoción que tenían por el pueblo; pues, aunque eran parientes de Pisístrato[19] y antes de su subida al poder tenían más relación con él que los otros ciudadanos, pensaron que no

[16] Una ley de Solón, poco respetada, prohibía insultar a los muertos (PLUT., *Solón* 21, 1).
[17] Los Eupátridas («de buen linaje») eran los patricios de Atenas, que se decían descendientes de un rey mítico. El padre de Alcibíades, Clinias, pretendía descender de Clístenes, restaurador de la democracia el año 511 a. C.
[18] Descendientes de Alcmeón, de las familias más importantes de la Atenas primitiva; Alcmeón fue expulsado de la ciudad el año 595 a. C.
[19] Tirano de Atenas hacia el 560 a. C.; expulsado varias veces de la ciudad, logra finalmente afianzar su poder personal hasta su muerte, el año 527 a. C. Durante su mandato Atenas conoció una época esplendorosa.

εἵλοντο φυγεῖν μᾶλλον ἢ τοὺς πολίτας ἰδεῖν δουλεύοντας.

era digno participar de su tiranía y prefirieron desterrarse antes que ver esclavizados a los ciudadanos.

[26] τετταράκοντα δ᾽ ἔτη τῆς στάσεως γενομένης ὑπὸ μὲν τῶν τυράννων τοσούτῳ μᾶλλον τῶν ἄλλων ἐμισήθησαν, ὥσθ᾽ ὁπότε τἀκείνων κρατήσειεν, οὐ μόνον τὰς οἰκίας αὐτῶν κατέσκαπτον ἀλλὰ καὶ τοὺς τάφους ἀνώρυττον, ὑπὸ δὲ τῶν συμφυγάδων οὕτω σφόδρ᾽ ἐπιστεύθησαν, ὥσθ᾽ ἅπαντα τοῦτον τὸν χρόνον ἡγούμενοι τοῦ δήμου διετέλεσαν. καὶ τὸ τελευταῖον Ἀλκιβιάδης καὶ Κλεισθένης, ὁ μὲν πρὸς πατρός, ὁ δὲ πρὸς μητρὸς ὢν πρόπαππος τοῦ πατρὸς τοὐμοῦ, στρατηγήσαντες τῆς φυγῆς κατήγαγον τὸν δῆμον καὶ τοὺς τυράννους ἐξέβαλον,

26 Y, tras cuarenta años de inestabilidad política, fueron odiados por los tiranos mucho más que los otros, hasta tal punto que, cuando los tiranos alcanzaron el poder, no sólo destruyeron sus casas, sino que también violaron sus tumbas[20]; y los Alcmeónidas gozaron de tal confianza entre sus compañeros de destierro que toda esa época la pasaron como jefes del partido popular. Finalmente, cuando Alcibíades y Clístenes, bisabuelos materno y paterno de mi padre respectivamente, fueron estrategos, hicieron volver al pueblo del destierro,

[27] καὶ κατέστησαν ἐκείνην τὴν δημοκρατίαν, ἐξ ἧς οἱ πολῖται πρὸς μὲν ἀνδρίαν οὕτως ἐπαιδεύθησαν ὥστε τοὺς βαρβάρους τοὺς ἐπὶ πᾶσαν ἐλθόντας τὴν Ἑλλάδα μόνοι νικᾶν μαχόμενοι, περὶ δὲ δικαιοσύνης τοσαύτην δόξαν ἔλαβον ὥσθ᾽ ἑκόντας αὐτοῖς τοὺς Ἕλληνας ἐγχειρίσαι τὴν ἀρχὴν τῆς θαλάττης, τὴν δὲ πόλιν τηλικαύτην τὸ μέγεθος ἐποίησαν καὶ τῇ δυνάμει καὶ ταῖς ἄλλαις κατασκευαῖς ὥστε τοὺς φάσκοντας αὐτὴν ἄστυ τῆς Ἑλλάδος εἶναι καὶ τοιαύταις ὑπερβολαῖς εἰθισμένους χρῆσθαι δοκεῖν ἀληθῆ λέγειν.

27 y expulsaron a los tiranos[21] y establecieron aquella democracia, en la que los ciudadanos fueron tan educados en el valor, que ellos solos vencieron en la lucha a los bárbaros que venían contra toda Grecia[22], y adquirieron tal renombre de justicia, que espontáneamente los griegos les ofrecieron el dominio del mar; y proporcionaron a la ciudad tal grandeza en su fuerza militar y en la restante organización que los que suelen decir de ella que es la capital de la Grecia y acostumbran a utilizar tales exageraciones parece que dicen la verdad[23].

[28] τὴν μὲν οὖν φιλίαν τὴν πρὸς τὸν δῆμον οὕτω παλαιὰν καὶ γνησίαν καὶ διὰ τὰς μεγίστας εὐεργεσίας γεγενημένην παρὰ τῶν προγόνων παρέλαβεν: αὐτὸς δὲ κατελείφθη μὲν ὀρφανός, ὁ γὰρ πατὴρ αὐτοῦ μαχόμενος ἐν Κορωνείᾳ τοῖς πολεμίοις ἀπέθανεν, ἐπετροπεύθη δ᾽ ὑπὸ Περικλέους, ὃν πάντες ἂν ὁμολογήσειαν καὶ σωφρονέστατον καὶ δικαιότατον καὶ σοφώτατον γενέσθαι τῶν πολιτῶν. ἡγοῦμαι γὰρ καὶ τοῦτ᾽

28 La amistad hacia el pueblo que mi padre recibió de mis antepasados es, en efecto, muy antigua y auténtica v producida por las hazañas más importantes. Él mismo quedó huérfano —pues su padre murió en Coronea[24] luchando contra los enemigos— y fue educado por Pendes, al que todos estarían de acuerdo en considerar como el más prudente, más justo y más sabio de los ciudadanos. Creo que es hermoso esto, que el

---

[20] TUC., I 126, 12; HERÓD., V 71; ARISTÓT., *Constitución de Atenas* I.

[21] Hiparco e Hipias, hijos de Pisístrato, sucedieron a su padre en el gobierno de Atenas; el año 513 a. C. se preparó una conjura contra ellos, consiguiendo Harmodio y Aristogitón matar a Hiparco. Hipias mantuvo, con dificultades, la tiranía, hasta que fue expulsado el 510.

[22] En Maratón, el 490 a. C. y no fueron sólo los atenienses, hubo ayuda de Platea.

[23] Es clara la admiración de Isócrates por el gobierno de los antepasados. Para LEVI, *Isocrate…*, pág. 102, esta «pátrios politeía» es la ideología política usada para presentar una nueva manera de entender los derechos de ciudadanía.

[24] En la batalla de Coronea, el 446 a. C. los atenienses fueron vencidos por los beocios.

εἶναι τῶν καλῶν, ἐκ τοιούτων γενόμενον ὑπὸ τοιούτοις ἤθεσιν ἐπιτροπευθῆναι καὶ τραφῆναι καὶ παιδευθῆναι.

que nació de hombres tan grandes fuera tutelado, criado y educado por un individuo de tales cualidades.

[29] δοκιμασθεὶς δ᾽ οὐκ ἐνδεέστερος ἐγένετο τῶν προειρημένων, οὐδ᾽ ἠξίωσεν αὐτὸς μὲν ῥᾳθύμως ζῆν, σεμνύνεσθαι δ᾽ ἐπὶ ταῖς τῶν προγόνων ἀρεταῖς, ἀλλ᾽ εὐθὺς οὕτω μέγ᾽ ἐφρόνησεν, ὥστ᾽ ᾠήθη δεῖν δι᾽ αὑτὸν καὶ τἀκείνων ἔργα μνημονεύεσθαι. καὶ πρῶτον μέν, ὅτε Φορμίων ἐξήγαγεν ἐπὶ Θρᾴκης χιλίους Ἀθηναίων, ἐπιλεξάμενος τοὺς ἀρίστους, μετὰ τούτων στρατευσάμενος τοιοῦτος ἦν ἐν τοῖς κινδύνοις ὥστε στεφανωθῆναι καὶ πανοπλίαν λαβεῖν παρὰ τοῦ στρατηγοῦ.

29 Cuando alcanzó sus derechos de ciudadano, no resultó inferior a lo que acabo de contar, ni consideró digno vivir con comodidad y vanagloriarse de las virtudes de sus antepasados; por el contrario, al punto fue tan ambicioso que pensó que las hazañas de aquéllos habían de recordarse gracias a él mismo. Y así, primeramente, cuando Formión[25], tras elegir a los mejores, condujo contra Tracia a mil atenienses, mi padre fue en la expedición y se comportó de tal forma en los peligros, que fue coronado y recibió una armadura completa de hoplita de manos del general[26].

[30] καίτοι τί χρὴ τὸν τῶν μεγίστων ἐπαίνων ἄξιον; οὐ μετὰ μὲν τῶν βελτίστων ἐκ τῆς πόλεως στρατευόμενον ἀριστείων ἀξιοῦσθαι, πρὸς δὲ τοὺς κρατίστους τῶν Ἑλλήνων ἀντιστρατηγοῦντ᾽ ἐν ἅπασι τοῖς κινδύνοις αὐτῶν φαίνεσθαι περιγιγνόμενον; ἐκεῖνος τοίνυν τῶν μὲν νέος ὢν ἔτυχε, τὰ δ᾽ ἐπειδὴ πρεσβύτερος ἦν ἔπραξεν.

30 ¿Qué debe hacer el que merece los mayores elogios? ¿Acaso no tiene que ser considerado el más valiente al salir de la ciudad con los mejores en expedición militar, y al dirigirse una campaña contra los más fuertes de los griegos mostrarse superior a ellos en todos los riesgos? Mi padre de joven alcanzó lo primero y consiguió lo segundo cuando era mayor.

[31] μετὰ δὲ ταῦτα τὴν μητέρα τὴν ἐμὴν ἔγημεν: ἡγοῦμαι γὰρ καὶ ταύτην ἀριστεῖον αὐτὸν λαβεῖν. ὁ γὰρ πατὴρ αὐτῆς Ἱππόνικος, πλούτῳ μὲν πρῶτος ὢν τῶν Ἑλλήνων, γένει δ᾽ οὐδενὸς ὕστερος τῶν πολιτῶν, τιμώμενος δὲ καὶ θαυμαζόμενος μάλιστα τῶν ἐφ᾽ αὑτοῦ, μετὰ προικὸς δὲ πλείστης καὶ δόξης μεγίστης ἐκδιδοὺς τὴν θυγατέρα, καὶ τοῦ γάμου τυχεῖν εὐχομένων μὲν ἁπάντων, ἀξιούντων δὲ τῶν πρώτων, τὸν πατέρα τὸν ἐμὸν ἐξ ἁπάντων ἐκλεξάμενος κηδεστὴν ἐπεθύμησε ποιήσασθαι.

31 Tras esto, se casó con mi madre; creo que también la obtuvo como premio a su valor. Porque el padre de ella, Hipónico[27], era por su riqueza el primero de los griegos y por su familia, no el último de los ciudadanos; era el más honrado y admirado de los de su época y entregaba a su hija con la mayor dote y la mejor fama; y todos deseaban conseguir este matrimonio, del que los mejores se consideraban dignos. Pero Hipónico eligió de entre todos a mi padre y quiso que fuera su yerno.

[32] περὶ δὲ τοὺς αὐτοὺς χρόνους ὁρῶν τὴν ἐν Ὀλυμπίᾳ πανήγυριν ὑπὸ πάντων ἀνθρώπων

32 Por esta misma época, veía que el certamen de Olimpia[28] era apreciado y admirado por todos los

[25] General ateniense, dirigió el año 432 a. C. una expedición contra Potidea; cf. TUC., I 64, 2.
[26] Sobre el valor de Alcibíades y su premio nos habla PLATÓN en el *Banquete* 220 E.
[27] Hijo de Calias, cuya riqueza era proverbial (PLUT., *Arístides* 5, 6-9).
[28] Los juegos de Olimpia se celebraban cada cuatro años, y la primera competición de la que tenemos noticia fue el año 776 antes de Cristo. Aunque también había certámenes en Delfos, en el Istmo de Corinto y en Nemea, los de Olimpia eran los más reputados. Duraron hasta el año 393 d. C. en que el emperador Teodosio los prohibió.

ἀγαπωμένην καὶ θαυμαξομένην, καὶ τοὺς Ἕλληνας ἐπίδειξιν ἐν αὐτῇ ποιουμένους πλούτου καὶ ῥώμης καὶ παιδεύσεως, καὶ τούς τ᾽ ἀθλητὰς ζηλουμένους καὶ τὰς πόλεις ὀνομαστὰς γιγνομένας τὰς τῶν νικώντων, καὶ πρὸς τούτοις ἡγούμενος τὰς μὲν ἐνθάδε λητουργίας ὑπὲρ τῶν ἰδίων πρὸς τοὺς πολίτας εἶναι, τὰς δ᾽ εἰς ἐκείνην τὴν πανήγυριν ὑπὲρ τῆς πόλεως εἰς ἅπασαν τὴν Ἑλλάδα γίγνεσθαι,

hombres, y que los griegos hacían de él una demostración de su riqueza, fuerza y educación; que los atletas eran envidiados y se volvían famosas las ciudades de los vencedores; al margen de esto, creía que las cargas públicas de aquí redundaban en su favor ante los ciudadanos, pero que las de aquel certamen enaltecían a la ciudad ante toda Grecia;

[33] ταῦτα διανοηθείς, οὐδενὸς ἀφυέστερος οὐδ᾽ ἀρρωστότερος τῷ σώματι γενόμενος τοὺς μὲν γυμνικοὺς ἀγῶνας ὑπερεῖδεν, εἰδὼς ἐνίους τῶν ἀθλητῶν καὶ κακῶς γεγονότας καὶ μικρὰς πόλεις οἰκοῦντας καὶ ταπεινῶς πεπαιδευμένους, ἱπποτροφεῖν δ᾽ ἐπιχειρήσας, ὃ τῶν εὐδαιμονεστάτων ἔργον ἐστί, φαῦλος δ᾽ οὐδεὶς ἂν ποιήσειεν, οὐ μόνον τοὺς ἀνταγωνιστὰς ἀλλὰ καὶ τοὺς πώποτε νικήσαντας ὑπερεβάλετο.

33 tras pensar esto y aunque físicamente no era ni peor ni más débil que nadie, despreció las pruebas gimnásticas, porque sabía que algunos atletas eran de bajo origen, vivían en pequeñas ciudades y su educación había sido poco elevada; entonces se dedicó a criar caballos de carreras, que es la ocupación de los más ricos y lo que ningún hombre vulgar haría; y superó no sólo a sus rivales sino a los anteriores vencedores.

[34] ζεύγη γὰρ καθῆκε τοσαῦτα μὲν τὸν ἀριθμὸν ὅσοις οὐδ᾽ αἱ μέγισται τῶν πόλεων ἠγωνίσαντο, τοιαῦτα δὲ τὴν ἀρετὴν ὥστε καὶ πρῶτος καὶ δεύτερος γενέσθαι καὶ τρίτος. χωρὶς δὲ τούτων ἐν ταῖς θυσίαις καὶ ταῖς ἄλλαις ταῖς περὶ τὴν ἑορτὴν δαπάναις οὕτως ἀφειδῶς διέκειτο καὶ μεγαλοπρεπῶς ὥστε φαίνεσθαι τὰ κοινὰ τὰ τῶν ἄλλων ἐλάττω τῶν ἰδίων τῶν ἐκείνου. κατέλυσε δὲ τὴν θεωρίαν, τὰς μὲν τῶν προτέρων εὐτυχίας μικρὰς πρὸς τὰς αὑτοῦ δόξαι ποιήσας, τοὺς δ᾽ ἐφ᾽ αὑτοῦ νικήσαντας παύσας ζηλουμένους, τοῖς δὲ μέλλουσιν ἱπποτροφεῖν οὐδεμίαν ὑπερβολὴν καταλιπών.

34 Puso en carrera un número tan grande de troncos de caballos[29], como nunca usaron en competición ni las ciudades más importantes, y de tal calidad que quedó primero, segundo y tercero. Además de esto, en los sacrificios y en los demás gastos de la fiesta religiosa era tan despreocupado y generoso, que se veía que los fondos públicos de los demás[30] eran menores que la fortuna privada de aquél. Y acabó la competición tras hacer disminuir los éxitos de los anteriores vencedores ante los suyos propios; también acabó con la rivalidad entre los vencedores de su época y no dejó ocasión alguna de ser superado a los que después criaron caballos de carreras.

[35] περὶ δὲ τῶν ἐνθάδε χορηγιῶν καὶ γυμνασιαρχιῶν καὶ τριηραρχιῶν αἰσχύνομαι λέγειν: τοσοῦτον γὰρ ἐν τοῖς ἄλλοις διήνεγκεν, ὥσθ᾽ οἱ μὲν ἐνδεεστέρως ἐκείνου λητουργήσαντες ἐκ τούτων σφᾶς αὐτοὺς ἐγκωμιάζουσιν, ὑπὲρ ἐκείνου δ᾽ εἴ τις καὶ τῶν

35 Me da vergüenza hablar de las coregías, gimnasiarquías y trierarquías de aquí[31]; pues tanto se destacó entre los demás, que los que desempeñaron un servicio público de manera inferior a la de él, se alababan a sí mismos por esto, y si alguno pedía el reconocimiento de los

[29] Alcibíades presentó 7 troncos según PLUT., *Alcibíades* II. En cambio, TUC., VI 16, 2, dice que quedó l.º, 2.º y 4.º.

[30] Se refiere a los teoros (*theoroí*) representantes de otros estados griegos.

[31] Son las tres liturgias (*leitourgíai*) o impuestos directos que debían pagar los más ricos de Atenas: coregía (pagar el coro público de comedias y tragedias), gimnasiarquía (pagar el entrenamiento de los atletas para una competición), y trierarquía (sostener por un año el equipo y tripulación de una nave de guerra).

τηλικούτων χάριν ἀπαιτοίη, περὶ μικρῶν ἂν δόξειε τοὺς λόγους ποιεῖσθαι.

servicios de mi padre, parecía que hablaba con modestia.

[36] πρὸς δὲ τὴν πολιτείαν, οὐδὲ γὰρ τοῦτο παραλειπτέον, ὥσπερ οὐδ᾽ ἐκεῖνος αὐτῆς ἠμέλησεν, ἀλλὰ τοσούτῳ τῶν μάλιστ᾽ εὐδοκιμησάντων ἀμείνων περὶ τὸν δῆμον γέγονεν, ὅσον τοὺς μὲν ἄλλους εὑρήσεθ᾽ ὑπὲρ αὑτῶν στασιάσαντας, ἐκεῖνον δ᾽ ὑπὲρ ὑμῶν κινδυνεύοντα. οὐ γὰρ ἀπελαυνόμενος ἀπὸ τῆς ὀλιγαρχίας ἀλλὰ παρακαλούμενος ἦν δημοτικός: καὶ πολλάκις ἐκγενόμενον αὐτῷ μὴ μόνον μετ᾽ ὀλίγων τῶν ἄλλων ἄρχειν ἀλλὰ καὶ τούτων αὐτῶν πλέον ἔχειν, οὐκ ἠθέλησεν, ἀλλ᾽ εἵλεθ᾽ ὑπὸ τῆς πόλεως ἀδικηθῆναι μᾶλλον ἢ τὴν πολιτείαν προδοῦναι.

36 En lo que se refiere a la política (que no hay que dejarla de lado, porque no se despreocupó de ella), resultó muchísimo mejor con respecto al pueblo que los más famosos, por cuanto que encontraréis a otros que hicieron la revolución en su propio provecho, pero él pasó peligros por vosotros. Pues fue democrático, no cuando fue rechazado por la oligarquía, sino cuando buscó ella su concurso, y muchas veces pudo no sólo mandar con unos pocos, sino incluso alcanzar el poder supremo, pero no quiso; prefirió sufrir injusticias a manos de la ciudad que traicionar la constitución;

[37] καὶ ταῦθ᾽ ἕως μὲν συνεχῶς ἐδημοκρατεῖσθ᾽ οὐδεὶς ἂν ὑμᾶς λέγων ἔπεισεν: νῦν δ᾽ αἱ στάσεις αἱ γενόμεναι σαφῶς ἐπέδειξαν καὶ τοὺς δημοτικοὺς καὶ τοὺς ὀλιγαρχικοὺς καὶ τοὺς οὐδετέρων ἐπιθυμοῦντας καὶ τοὺς ἀμφοτέρων μετέχειν ἀξιοῦντας. ἐν αἷς δὶς ὑπὸ τῶν ἐχθρῶν τῶν ὑμετέρων ἐξέπεσεν: καὶ τὸ μὲν πρότερον, ἐπειδὴ τάχιστ᾽ ἐκεῖνον ἐκποδὼν ἐποιήσαντο, τὸν δῆμον κατέλυσαν, τὸ δ᾽ ὕστερον οὐκ ἔφθασαν ὑμᾶς καταδουλωσάμενοι, καὶ πρώτου τῶν πολιτῶν αὐτοῦ φυγὴν κατέγνωσαν: οὕτω σφόδρ᾽ ἥ τε πόλις τῶν τοῦ πατρὸς κακῶν ἀπέλαυσε κἀκεῖνος τῶν τῆς πόλεως συμφορῶν ἐκοινώνησεν.

37 y de esto nadie os habría podido convencer mientras tuvisteis un régimen democrático; pero ahora las luchas civiles acaecidas mostraron suficientemente a los demócratas, a los oligarcas, a los que de nada se preocupaban y a los que pretendían sacar provecho de ambos partidos. En estas luchas, por dos veces expulsaron a mi padre vuestros enemigos: la primera, tan pronto como se desembarazaron de él, destruyeron la democracia, y la segunda, no bien se adelantaron a esclavizaros, cuando fue el primero de los ciudadanos al que desterraron; la ciudad sufrió muchísimo por los males de mi padre y también él participó de las desgracias de la ciudad.

[38] καίτοι πολλοὶ τῶν πολιτῶν πρὸς αὐτὸν δυσκόλως εἶχον ὡς πρὸς τυραννεῖν ἐπιβουλεύοντα, οὐκ ἐκ τῶν ἔργων σκοποῦντες, ἀλλ᾽ ἡγούμενοι τὸ μὲν πρᾶγμ᾽ ὑπὸ πάντων ζηλοῦσθαι, δύνασθαι δ᾽ ἂν ἐκεῖνον μάλιστα διαπράξασθαι. διὸ καὶ δικαίως ἂν αὐτῷ πλείω χάριν ἔχοιτε, ὅτι τὴν μὲν αἰτίαν μόνος τῶν πολιτῶν ἄξιος ἦν ταύτην ἔχειν, τῆς δὲ πολιτείας ἴσον ᾤετο δεῖν καὶ τοῖς ἄλλοις μετεῖναι.

38 Muchos de los ciudadanos le fueron hostiles por pensar que maquinaba ser tirano; pero no miraban sus acciones, sino que pensaban que la tiranía la buscaban todos, pero que él era el que tenía más posibilidades de alcanzarla. Por esto le debéis el mayor agradecimiento, porque era el único de los ciudadanos digno de tal sospecha, pero pensaba que tenía que participar de la política en condiciones de igualdad con los demás.

[39] διὰ δὲ τὸ πλῆθος τῶν ἐνόντων εἰπεῖν ὑπὲρ τοῦ πατρὸς ἀπορῶ, τίνος ἐν τῷ παρόντι πρέπει μνησθῆναι καὶ ποῖ᾽ αὐτῶν χρὴ παραλιπεῖν: ἀεὶ γάρ μοι δοκεῖ μεῖζον εἶναι τὸ μήπω πεφρασμένον

39 Debido a la enorme cantidad de cosas que habría que decir en defensa de mi padre, no sé de cuál debería acordarme ahora y cuál dejar de mencionar; porque siempre me parece mejor lo

τῶν ἤδη πρὸς ὑμᾶς εἰρημένων. ἐπεὶ καὶ τοῦθ᾽ ἡγοῦμαι πᾶσιν εἶναι φανερὸν ὅτι τοῦτον ἀναγκαῖόν ἐστιν εὐνούστατον εἶναι ταῖς τῆς πόλεως εὐτυχίαις, ὅτῳ πλεῖστον μέρος καὶ τῶν ἀγαθῶν καὶ τῶν κακῶν μέτεστιν.

que aún no he citado que lo que ya os he contado. Aunque creo que esto está claro para todos, que necesariamente el que más desea los éxitos de la ciudad es el que en mayor parte participa de sus bienes y de sus males.

[40] ἐκείνου τοίνυν εὖ μὲν πραττούσης τῆς πόλεως τίς εὐδαιμονέστερος ἢ θαυμαστότερος ἢ ζηλωτότερος ἦν τῶν πολιτῶν, δυστυχησάσης δὲ τίς ἐλπίδων μειζόνων ἢ χρημάτων πλειόνων ἢ δόξης καλλίονος ἐστερήθη; οὐ τὸ τελευταῖον ἐπειδὴ κατέστησαν οἱ τριάκονθ᾽ οἱ μὲν ἄλλοι τὴν πόλιν ἔφυγον, ἐκεῖνος δὲ ἐξ ἁπάσης τῆς Ἑλλάδος ἐξέπεσεν; οὐ Λακεδαιμόνιοι καὶ Λύσανδρος ὁμοίως ἔργον ἐποιήσαντ᾽ ἐκεῖνον ἀποκτεῖναι καὶ τὴν ὑμετέραν καταλῦσαι δύναμιν, οὐδεμίαν ἡγούμενοι πίστιν ἕξειν παρὰ τῆς πόλεως, εἰ τὰ τείχη καταβάλοιεν, εἰ μὴ καὶ τὸν ἀναστῆσαι δυνάμενον ἀπολέσαιεν;

40 Cuando la ciudad estaba en buena situación, ¿qué ciudadano era más feliz, admirado y envidiado que mi padre? Y, en cambio, cuando Atenas cayó en la desgracia, ¿quién quedó privado de las mayores esperanzas, de mucho dinero y de la fama más hermosa? Finalmente, cuando subieron al poder los Treinta[32] ¿no es cierto que los demás se exiliaron de la ciudad, pero él fue desterrado de toda Grecia? ¿Acaso los lacedemonios y Lisandro no pusieron igual empeño en matarle y en destruir vuestro poderío militar, porque pensaban que no estarían seguros de la ciudad aunque derribasen las murallas si no mataban al que podía levantarlas de nuevo?[33].

[41] ὥστ᾽ οὐ μόνον ἐξ ὧν ὑμᾶς εὖ πεποίηκεν ἀλλὰ καὶ ἐξ ὧν δι᾽ ὑμᾶς κακῶς πέπονθε ῥᾴδιον γνῶναι τὴν εὔνοιαν τὴν ἐκείνου. φαίνεται γὰρ τῷ δήμῳ βοηθῶν, τῆς αὐτῆς πολιτείας ὑμῖν ἐπιθυμῶν, ὑπὸ τῶν αὐτῶν κακῶς πάσχων, ἅμα τῇ πόλει δυστυχῶν, τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους ὑμῖν νομίζων, ἐκ παντὸς τρόπου κινδυνεύων τὰ μὲν ὑφ᾽ ὑμῶν, τὰ δὲ δι᾽ ὑμᾶς,

41 En resumen, es fácil conocer su buena disposición no sólo por los bienes que os hizo sino por los males que por vosotros sufrió. Pues está clara su actitud en defensa del pueblo, su deseo de tener la misma constitución que vosotros; que sufre y pasa calamidades con la ciudad a manos de los mismos, que tiene idénticos enemigos y amigos que vosotros; además sufre peligros de todo tipo: unos por culpa vuestra, otros por vuestra causa,

[42] τὰ δ᾽ ὑπὲρ ὑμῶν, τὰ δὲ μεθ᾽ ὑμῶν, ἀνόμοιος πολίτης Χαρικλεῖ τῷ τούτου κηδεστῇ γεγενημένος, ὃς τοῖς μὲν πολεμίοις δουλεύειν ἐπεθύμει, τῶν δὲ πολιτῶν ἄρχειν ἠξίου, καὶ φεύγων μὲν ἡσυχίαν εἶχε, κατελθὼν δὲ κακῶς ἐποίει τὴν πόλιν. καίτοι πῶς ἂν γένοιτ᾽ ἢ φίλος πονηρότερος ἢ ἐχθρὸς ἐλάττονος ἄξιος;

42 otros en vuestra defensa, y otros con vosotros; resultó un ciudadano muy distinto a Caricles[34], pariente de quien me acusa, el que deseaba ser esclavo de los enemigos, se consideraba digno de gobernar a los ciudadanos, permaneció pasivo en el exilio y, tras regresar, hacía daño a la ciudad. ¿Quién podría ser un amigo más peligroso o un enemigo más vil?

[43] εἶτα σὺ κηδεστὴς μὲν ὢν ἐκείνου, βεβουλευκὼς δ᾽ ἐπὶ τῶν τριάκοντα τολμᾷς

43 Y tú, que eres su pariente, que has sido consejero en tiempos de los Treinta, ¿te atreves a

[32] Cf. nota 1 del discurso *Contra Entino*.

[33] Los muros «largos» destruidos el año 404 a. C. y reconstruido por Conón el 394 (cf. JENOF., *Helénicas* II 2, 20).

[34] Caricles, estratego en 414-13 fue uno de los Treinta tiranos; cf. LIS., *Contra Eratóstenes* 55; JENOF., *Hel.* II 3, 2, *Memorables* I 2, 31; ARISTÓT., *Política* 1305 b 6.

ἑτέροις μνησικακεῖν, καὶ οὐκ αἰσχύνει τὰς συνθήκας παραβαίνων δι᾽ ἃς αὐτὸς οἰκεῖς τὴν πόλιν, οὐδ᾽ ἐνθυμεῖ διότι, ὁπόταν δόξῃ τῶν παρεληλυθότων τιμωρίαν ποιεῖσθαι, σοὶ καὶ προτέρῳ καὶ μᾶλλον ἢ ᾽μοὶ κινδυνεύειν ὑπάρχει;

pensar en vengarte de otros y no te avergüenzas de violar los tratados gracias a los cuales tú vives en la ciudad? ¿Tampoco piensas que, en el caso de que se decida tomar venganza por lo ocurrido, te va a tocar a ti correr peligro antes y más que a mí?

[44] οὐ γὰρ δήπου παρ᾽ ἐμοῦ μὲν ὑπὲρ ὧν ὁ πατὴρ ἔπραξε δίκην λήψονται, σοὶ δὲ καὶ ὧν αὐτὸς ἡμάρτηκας συγγνώμην ἕξουσιν. ἀλλὰ μὴν οὐδ᾽ ὁμοίας ἐκείνῳ φανήσει τὰς προφάσεις ἔχων: οὐ γὰρ ἐκπεσὼν ἐκ τῆς πατρίδος ἀλλὰ συμπολιτευόμενος, οὐδ᾽ ἀναγκασθεὶς ἀλλ᾽ ἑκών, οὐδ᾽ ἀμυνόμενος ἀλλ᾽ ὑπάρχων ἠδίκεις αὐτούς, ὥστ᾽ οὐδ᾽ ἀπολογίας σοι προσήκει τυχεῖν παρ᾽ αὐτῶν.

44 Pues no me impondrán castigo por lo que hizo mi padre si van a tener contigo compasión por los delitos que cometiste personalmente. Por otro lado, se verá que no tienes las mismas excusas que aquél: porque injuriaste a los ciudadanos no habiendo sido expulsado de la ciudad, sino conservando tus plenos derechos, y no por fuerza, sino voluntariamente, ni por defenderte sino por atacar; así que ni siquiera puedes defenderte ante ellos.

[45] ἀλλὰ γὰρ περὶ μὲν τῶν Τεισίᾳ πεπολιτευμένων ἴσως πότ᾽ ἐν τοῖς τούτου κινδύνοις ἐγγενήσεται καὶ διὰ μακροτέρων εἰπεῖν: ὑμᾶς δ᾽ ἀξιῶ μὴ προέσθαι με τοῖς ἐχθροῖς μηδ᾽ ἀνηκέστοις συμφοραῖς περιβαλεῖν. ἱκανῶς γὰρ καὶ νῦν πεπείραμαι κακῶν, ὃς εὐθὺς μὲν γενόμενος ὀρφανὸς κατελείφθην, τοῦ μὲν πατρὸς φυγόντος, τῆς δὲ μητρὸς τελευτησάσης, οὔπω δὲ τέτταρ᾽ ἔτη γεγονὼς διὰ τὴν τοῦ πατρὸς φυγὴν περὶ τοῦ σώματος εἰς κίνδυνον κατέστην,

45 Pero en lo referente a los actos políticos de Tisias, quizá podrá hablarse con más amplitud cuando alguna vez se encuentre en los riesgos de un proceso como éste; creo que vosotros no me entregaréis a los enemigos ni me arrojaréis a desgracias irremediables. Pues, incluso ahora, tengo bastante experiencia en males, porque recién nacido quedé abandonado como huérfano, porque mi padre fue exiliado y mi madre murió; y aún no tenía cuatro años, cuando estuve en peligro de muerte por el exilio de mi padre,

[46] ἔτι δὲ παῖς ὢν ὑπὸ τῶν τριάκοντ᾽ ἐκ τῆς πόλεως ἐξέπεσον. κατελθόντων δὲ τῶν ἐκ Πειραιῶς καὶ τῶν ἄλλων κομιζομένων τὰς οὐσίας ἐγὼ μόνος τὴν γῆν, ἣν ἡμῖν ἀπέδωκεν ὁ δῆμος ἀντὶ τῶν δημευθέντων χρημάτων, διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἀπεστερήθην. τοσαῦτα δὲ προδεδυστυχηκὼς καὶ δὶς τὴν οὐσίαν ἀπολωλεκὼς νυνὶ πέντε ταλάντων φεύγω δίκην. καὶ τὸ μὲν ἔγκλημ᾽ ἐστὶ περὶ χρημάτων, ἀγωνίζομαι δ᾽ εἰ χρὴ μετεῖναί μοι τῆς πόλεως.

46 y, niño aún, fui arrojado de la ciudad por los Treinta. Tras la vuelta de los del Pireo y cuando otros recobraban sus haciendas, fui yo el único que, debido a la influencia de mis adversarios, quedé privado de la tierra que nos dio el pueblo a cambio de nuestra fortuna confiscada[35]. Y habiendo sufrido desgracias tales y perdido por dos veces mi hacienda[36], ahora me defiendo de un proceso de cinco talentos[37]. Y, aunque la acusación es por dinero, estoy en pleito por si debo participar del derecho de ciudadanía.

[47] τῶν γὰρ αὐτῶν τιμημάτων ἐπιγεγραμμένων οὐ περὶ τῶν αὐτῶν ἅπασιν ὁ κίνδυνός ἐστιν, ἀλλὰ

47 Pues habiendo sido fijadas penas idénticas, el riesgo no es el mismo para todos: los que tienen

[35] Noticias sobre esta fortuna en inscripciones, cf. PLUT., *Alcibíades* 33, 3, y LIS., XIX 52.
[36] Los años 414 y 404 a. C.
[37] Cf. nota 2 del discurso *Contra Eutino*.

τοῖς μὲν χρήματα κεκτημένοις περὶ ζημίας, τοῖς δ᾽ ἀπόρως ὥσπερ ἐγὼ διακειμένοις περὶ ἀτιμίας, ἣν ἐγὼ φυγῆς μείζω συμφορὰν νομίζω: πολὺ γὰρ ἀθλιώτερον παρὰ τοῖς αὑτοῦ πολίταις ἠτιμωμένον οἰκεῖν ἢ παρ᾽ ἑτέροις μετοικεῖν.

dinero se arriesgan a una multa, pero los que como yo son pobres, a la pérdida de derechos cívicos, que considero mayor desgracia que el destierro; porque es mucho peor vivir sin derechos entre los propios conciudadanos, que habitar en el extranjero entre extraños.

[48] δέομαι δ᾽ οὖν ὑμῶν βοηθῆσαί μοι καὶ μὴ περιιδεῖν ὑπὸ τῶν ἐχθρῶν ὑβρισθέντα μηδὲ τῆς πατρίδος στερηθέντα μηδ᾽ ἐπὶ τοιαύταις τύχαις περίβλεπτον γενόμενον. δικαίως δ᾽ ἂν ὑφ᾽ ὑμῶν ἐξ αὐτῶν τῶν ἔργων ἐλεηθείην, εἰ καὶ τῷ λόγῳ τυγχάνω μὴ δυνάμενος ἐπὶ τοῦθ᾽ ὑμᾶς ἄγειν, εἴπερ χρὴ τούτους ἐλεεῖν, τοὺς ἀδίκως μὲν κινδυνεύοντας, περὶ δὲ τῶν μεγίστων ἀγωνιζομένους, ἀναξίως δ᾽ αὑτῶν καὶ τῶν προγόνων πράττοντας, πλείστων δὲ χρημάτων ἀπεστερημένους καὶ μεγίστῃ μεταβολῇ τοῦ βίου κεχρημένους.

48 Os pido que me ayudéis y que no permitáis que sea dañado por mis adversarios, ni quede privado de la patria, ni resulte célebre por estas desdichas. Sería compadecido por vosotros justamente debido a mi misma situación, aunque mi discurso no pueda induciros a ello, si es que hay que compadecer a los que injustamente sufren peligros, luchan por lo más importante, están en una situación indigna de ellos y de sus antepasados, se ven privados de enormes bienes y han sufrido un gran cambio en su vida.

[49] πολλὰ δ᾽ ἔχων ἐμαυτὸν ὀδύρασθαι μάλιστ᾽ ἐπὶ τούτοις ἀγανακτῶ, πρῶτον μὲν εἰ τούτῳ δώσω δίκην παρ᾽ οὗ λαβεῖν μοι προσήκει, δεύτερον δ᾽ εἰ διὰ τὴν τοῦ πατρὸς νίκην τὴν Ὀλυμπίασιν ἀτιμωθήσομαι, δι᾽ ἣν τοὺς ἄλλους ὁρῶ δωρεὰς λαμβάνοντας,

49 Aunque tengo muchos motivos para lamentarme, lo que más me indigna es esto: primero, que tenga que pagar la pena a éste de quien me correspondería recibirla; segundo, que quede privado de derechos a causa de la victoria de mi padre en Olimpia, cuando veo que otros obtienen recompensas por ellas;

[50] πρὸς δὲ τούτοις εἰ Τεισίας μὲν μηδὲν ἀγαθὸν ποιήσας τὴν πόλιν καὶ ἐν δημοκρατίᾳ καὶ ἐν ὀλιγαρχίᾳ μέγα δυνήσεται, ἐγὼ δ᾽ εἰ μηδετέρους ἀδικήσας ὑπ᾽ ἀμφοτέρων κακῶς πείσομαι,

50 además, que Tisias, que ninguna cosa buena hizo a la ciudad, vaya a tener tanto poder en la democracia como en la oligarquía, y yo, en cambio, sin hacer daño a ninguna de las dos, sea perjudicado por ambas;

καὶ περὶ μὲν τῶν ἄλλων τἀναντία τοῖς τριάκοντα πράξετε, περὶ δ᾽ ἐμοῦ τὴν αὐτὴν ἐκείνοις γνώμην ἕξετε, καὶ τότε μὲν μεθ᾽ ὑμῶν, νῦν δ᾽ ὑφ᾽ ὑμῶν τῆς πόλεως στερήσομαι.

y finalmente que, si respecto a otras cosas hacéis lo contrario que los Treinta, conmigo, en cambio, tengáis la misma opinión que aquellos y vaya a quedar privado de la ciudadanía, antes, con vosotros, y ahora, por culpa vuestra.

